32 [13]Ὅσα ἐπροφήτευσεν Ιερεμιας ἐπὶ πάντα τὰ ἔθνη.
15 [15]Οὕτως εἶπεν κύριος ὁ θεὸς Ισραηλ Λαβὲ τὸ ποτήριον τοῦ
οἴνου τοῦ ἀκράτου τούτου ἐκ χειρός μου καὶ ποτιεῖς πάντα τὰ
16 ἔθνη, πρὸς ἃ ἐγὼ ἀποστέλλω σε πρὸς αὐτούς, [16]καὶ πίονται καὶ
ἐξεμοῦνται καὶ μανήσονται ἀπὸ προσώπου τῆς μαχαίρας, ἧς ἐγὼ
17 ἀποστέλλω ἀνὰ μέσον αὐτῶν. [17]καὶ ἔλαβον τὸ ποτήριον ἐκ χειρὸς
κυρίου καὶ ἐπότισα τὰ ἔθνη, πρὸς ἃ ἀπέστειλέν με κύριος ἐπ᾽ αὐτά,
18 [18]τὴν Ιερουσαλημ καὶ τὰς πόλεις Ιουδα καὶ βασιλεῖς Ιουδα καὶ ἄρ-
χοντας αὐτοῦ τοῦ θεῖναι αὐτὰς εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον καὶ
19 εἰς συριγμὸν [19]καὶ τὸν Φαραω βασιλέα Αἰγύπτου καὶ τοὺς παῖδας
20 αὐτοῦ καὶ τοὺς μεγιστᾶνας αὐτοῦ καὶ πάντα τὸν λαὸν αὐτοῦ [20]καὶ
πάντας τοὺς συμμίκτους αὐτοῦ καὶ πάντας τοὺς βασιλεῖς ἀλλοφύ-
λων, τὴν Ἀσκαλῶνα καὶ τὴν Γάζαν καὶ τὴν Ακκαρων καὶ τὸ ἐπί-
21 λοιπον Ἀζώτου [21]καὶ τὴν Ιδουμαίαν καὶ τὴν Μωαβῖτιν καὶ τοὺς
22 υἱοὺς Αμμων [22]καὶ πάντας βασιλεῖς Τύρου καὶ βασιλεῖς Σιδῶνος
23 καὶ βασιλεῖς τοὺς ἐν τῷ πέραν τῆς θαλάσσης [23]καὶ τὴν Δαιδαν
καὶ τὴν Θαιμαν καὶ τὴν Ρως καὶ πᾶν περικεκαρμένον κατὰ πρόσ-
24 ωπον αὐτοῦ [24]καὶ πάντας τοὺς συμμίκτους τοὺς καταλύοντας ἐν
25 τῇ ἐρήμῳ [25]καὶ πάντας βασιλεῖς Αιλαμ καὶ πάντας βασιλεῖς Περ-
26 σῶν [26]καὶ πάντας βασιλεῖς ἀπὸ ἀπηλιώτου τοὺς πόρρω καὶ τοὺς
ἐγγύς, ἕκαστον πρὸς τὸν ἀδελφὸν αὐτοῦ, καὶ πάσας τὰς βασιλείας
27 τὰς ἐπὶ προσώπου τῆς γῆς. [27]καὶ ἐρεῖς αὐτοῖς Οὕτως εἶπεν κύριος
παντοκράτωρ Πίετε καὶ μεθύσθητε καὶ ἐξεμέσατε καὶ πεσεῖσθε καὶ
οὐ μὴ ἀναστῆτε ἀπὸ προσώπου τῆς μαχαίρας, ἧς ἐγὼ ἀποστέλλω
28 ἀνὰ μέσον ὑμῶν. [28]καὶ ἔσται ὅταν μὴ βούλωνται δέξασθαι τὸ
ποτήριον ἐκ τῆς χειρός σου ὥστε πιεῖν, καὶ ἐρεῖς Οὕτως εἶπεν
29 κύριος Πιόντες πίεσθε· [29]ὅτι ἐν πόλει, ἐν ᾗ ὠνομάσθη τὸ ὄνομά
μου ἐπ᾽ αὐτήν, ἐγὼ ἄρχομαι κακῶσαι, καὶ ὑμεῖς καθάρσει οὐ μὴ
καθαρισθῆτε, ὅτι μάχαιραν ἐγὼ καλῶ ἐπὶ τοὺς καθημένους ἐπὶ τῆς
30 γῆς. [30]καὶ σὺ προφητεύσεις ἐπ᾽ αὐτοὺς τοὺς λόγους τούτους καὶ
ἐρεῖς Κύριος ἀφ᾽ ὑψηλοῦ χρηματιεῖ, ἀπὸ τοῦ ἁγίου αὐτοῦ δώσει

32 (𝔐 25 13 fin. 15—38; priorem capitis partem uide post 24) 13 > BS || 15 εκ χειρος μου > S*† || 16 και $1^0 \frown 2^0$ BSpau. || 17 το ποτ./εκ χ. κυρ.] tr. S† | επ] προς Bpau. || 18 συριγμον: cf. 19 8 || 20 αυτου > B† | αλλοφυλων] pr. παντων των A† | την $1^0$] pr. και A = 𝔐 || 22 παντας > BS || 23 θαιμαν] θωμεαν S*† | παν BApau. (cf. Iud. 7 4 B)] παντα rel. | περικ⟨ε⟩ιρομενον S† || 24 συμμικτους] + αυτου A† || 25 και π. βασ. $1^0 \frown 2^0$ S*A*† | αιλαμ] δαιδαν QA$^{s}$C || 26 απο] pr. τους S†, του A† | τας paenult. > BS† | βασιλειας] + αυτου S† | της] pr. πασης S† || 27 και $2^0$ > B† | εξ-εμεσετε B† || 29 εν η BS†] εφ η rel. | επ αυτης A† | αρχομαι] ερχ. A† | καλω] καλεσω A† || 30 επ αυτους] > A*†, post τουτους suppl. A$^{mg}$† | ερεις] + αυτοις A†, + προς αυτους *L*: = 𝔐 | αφ] εφ S†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/716 UNIVERSITÄT LEIPZIG